ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω, καὶ πολὺν χρόνον
ἀπὸ Σωκράτους γεγονότε, τί θαυμαστὸν, εἰ ὑπερη-
26 φάνω ἐγενέσθην; Εἶτα, εἰ μέν τι ἐπλημμελη-
σάτην, τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται; ὅτι
δὲ νέω ὄντε αὐτὼ (ἡνίκα καὶ ἀγνωμονεστάτω καὶ
ἀκρατεστάτω εἰκὸς εἶναι) Σωκράτης παρέσχε σώφρο-
νε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι;
27 Οὐ μὴν τά γε ἄλλα οὕτω κρίνεται. τίς μὲν γὰρ αὐ-
λητὴς, τίς δὲ καὶ κιθαριστὴς, τίς δὲ ἄλλος διδάσκα-
λος ἱκανοὺς ποιήσας τοὺς μαθητὰς, ἐὰν πρὸς ἄλλους
ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; τίς δὲ
πατὴρ, ἐὰν ὁ παῖς αὐτοῦ συνδιατρίβων τῳ σώφρων ᾖ,
ὕστερον δὲ ἄλλῳ τῳ συγγενόμενος πονηρὸς γένηται,
τὸν πρόσθεν αἰτιᾶται; ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ
ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν
πρότερον; ἀλλ' οἵ γε πατέρες αὐτοὶ συνόντες τοῖς
υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν,
28 ἐὰν αὐτοὶ σωφρονῶσιν. Οὕτω δὲ καὶ Σωκράτην
δίκαιον ἦν κρίνειν· εἰ μὲν αὐτὸς ἐποίει τὶ φαῦλον,
εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι· εἰ δὲ αὐτὸς σωφρο-
νῶν διετέλει, πῶς ἂν δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ
κακίας αἰτίαν ἔχοι; ἀλλ' εἰ καὶ μηδὲν αὐτὸς πονη-
ρὸν ποιῶν, ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐπῄνει,
29 δικαίως ἂν ἐπετιμᾶτο. Κριτίαν μὲν τοίνυν αἰσθα-
νόμενος ἐρῶντα Εὐθυδήμου, καὶ πειρῶντα χρῆσθαι,
καθάπερ οἱ πρὸς τἀφροδίσια τῶν σωμάτων ἀπο-
λαύοντες, ἀπέτρεπε, φάσκων ἀνελεύθερόν τε εἶναι
καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ, τὸν ἐρώμενον,
ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι, προσαιτεῖν ὥσπερ
τοὺς

§. 26. παρέσχε] Parif. 3 παρέσχετο.

§. 27. ἄλλος] Iunt. λάλος, inepte: Brod. καὶ ἄλλος.

ἱκανοὺς ποιήσας] Edd. vett. et Parif. ἱκανοὺς ποιῆσαι. Hinc facit Brodaeus ἱκανὸς ποιῆσαι. Sed lectio Steph. eſt melior.

οἵ γε πατέρες αὐτοὶ] Pro vulgato αὐτοῖς reſcripſit αὐτοὶ, conſentientibus Codd., Erneſti.

§. 28. σωφρονῶν] Iuntina, excepta Caſtalionea, σωφρονεῖν, vitioſe.

§. 29. τἀφροδίσια] Haec Attica contractio eſt in edd. vett. et Parif. pro Steph. τὰ ἀφρ.